## περὶ συναρμογῶν.

Ἑξῆς δὲ τούτοις ὄντος, τοῦ περὶ συναρμογῶν λόγου, περὶ μὲν τῆς κατὰ νόμους ἀνδρὸς καὶ γυναικὸς συμβιβάσεως, οὕτω σκεπτέον ἐπὶ μὲν τῶν ἀνδρῶν, ἀφορᾶν δεῖ τὴν ☾ αὐτῶν, πῶς διάκειται. πρῶτον μὲν γὰρ ἐν τοῖς ἀπηλιωτικοῖς τυχοῦσα τεταρτημορίοις, νεογάμους ποιεῖ τοὺς ἄνδρας, ἢ νεωτέραις παρ᾽ ἡλικίαν συμβάλλοντας, ἐν δὲ τοῖς λιβυκοῖς, βραδυγάμους, ἢ πρεσβυτέραις συνόντας. εἰ δὲ καὶ ὑπὸ τὰς αὐτὰς εἴη ☉ καὶ ♄ συσχηματιζομένη, τέλεον ἀγάμους. ἔπειτα ἐὰν μὲν ἐν μονοειδεῖ ζωδίῳ ἢ καὶ ἑνὶ τῶν ἀστέρων συναπτουσα τύχῃ, μονογάμους ποιεῖ. ἐὰν δὲ ἐν δισώμῳ, ἢ καὶ πολυμόρφῳ ἢ καὶ πλείοσιν, ἐν τῷ αὐτῷ ζωδίῳ τὴν συναφειαν ἔχουσα, πολυγάμους. κἂν μὲν οἱ τὰς συναφὰς ἐπέχοντες τῶν ἀστέρων, ἤτοι κατακολλήσεις ἢ καὶ καταμαρτυροποιΐας ἀγαθοὶ τυγχάνουσι, λαμβάνουσι γυναῖκας ἀγαθάς, ἐὰν δὲ κακοποιοί, τὰς ἐναντίας. ♄ μὲν ἐπέχων τὴν συναφὴν, ποιεῖ γυναῖκας ἐπιπόνους καὶ αὐστηράς. ♃ δὲ, σεμνὰς καὶ οἰκονομικάς. ♂ δὲ, θρασείας καὶ ἀνυποτάκτους, ἀφροδίτη δὲ, εὐμόρφους, καὶ ἐπιχαρίτους. καὶ ἱλαράς, ☿ δὲ συνετὰς καὶ ὀξείας. ἔτι δὲ ♀ μετὰ μὲν Διὸς, ἢ ♄ μεθ᾽ Ἑρμοῦ, βιωφελεῖς, καὶ φιλάνδρους, καὶ φιλοτέκνους, μετὰ δὲ ♂, θυμικάς, καὶ ἀστάτους, καὶ ἀλλογνώμονας. ἐπὶ δὲ τῶν γυναικῶν ἀφορᾶν δεῖ τὸν ☉ αὐτῶν, ἐπειδήπερ καὶ αὐτὸς ἐν μὲν τοῖς ἀπηλιωτικοῖς πάλιν τυχὼν τεταρτημορίοις, ποιεῖ τὰς ἔχοντας αὐτὸν οὕτω διακείμενον, ἢ νεογάμους, ἢ νεωτέροις συμβαλλούσας. ἐν δὲ τοῖς λιβυκοῖς, βραδυγάμους, ἢ πρεσβυτέροις πάλιν παρ᾽ ἡλικίαν ζευγνυμένας. καὶ ἐν μὲν μονοειδεῖ ζωδίῳ τυχὼν, ἢ ἐν ὡς ἑώου τῶν ἀστέρων, μονογάμους, ἐν δισώμῳ δὲ ἢ πολυμόρφῳ πάλιν, ἢ καὶ πλείοσιν ἑώοις σύσχηματι, σθεὶς πολυγάμους. ♄ μὲν τῷ ☉ ὡσαύτως συσχηματισθέντος, λαμβάνουσιν ἄνδρας καθεστῶτας καὶ χρησίμους, καὶ φιλοπόνους. ♃, δὲ σεμνοὺς καὶ μεγαλοψύχους. ♂ δὲ δράστας καὶ ἀστόργους, καὶ ἀνυποτάκτους. ♀ δὲ, καθαρίους καὶ εὐμόρφους. ☿ δὲ, βιωφελεῖς καὶ ἐμπράκτους. ἀφροδίτη δὲ, μετὰ μὲν ♄, νωχελεῖς καὶ ἀσθενεστέρους ἐν τοῖς ἀφροδισίοις. μετὰ δὲ ♂ θερμοὺς, καὶ καταφορεῖς, καὶ μοιχώδεις. μετὰ δὲ ☿ περὶ παῖδας ἐπτοημένους. λέγομεν δὲ νῦν ἀπηλιωτικὰ τεταρτημόρια, ἐπὶ μὲν τοῦ ☉, τὰ προηγούμενα τοῦ τε ἀνατέλλοντος σημείου τοῦ ζωδιακοῦ, καὶ τοῦ δύνοντος, ἐπὶ δὲ τῆς ☾ τὰ ἀπὸ

συνόδου